# ΣΧΟΛΙΑ ΕΙΣ ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ, ΑΠΟ ΦΩΝΗΣ ΣΙΜΠΛΙΚΙΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΜΕΓΑΛΟΥ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

Πολλοὶ πολλὰς κατεβάλοντο φροντίδας, εἰς τὸ τῶν κατηγοριῶν τοῦ ἀριστοτέλους βιβλίον. οὐ μόνον ὅτι προοίμιόν ἐστι τῆς ὅλης φιλοσοφίας, εἴπερ αὐτὸ μὲν τῆς λογικῆς ἐστιν ἀρχὴ πραγματείας. ἡ δὲ λογικὴ τῆς ὅλης προλαμβάνεται δικαίως φιλοσοφίας, ἀλλὰ καὶ ὅτι τρόπον τινὰ περὶ ἀρχῶν ἐστι τῶν πρώτων, ὡς ἐν τοῖς περὶ τοῦ σκοποῦ μαθησόμεθα λόγοις. ἄλλοι δὲ κατ᾿ ἄλλην ὁρμὴν τὰς περὶ τοῦτο τὸ βιβλίον πραγματείας πεποίηνται. οἱ μὲν, αὐτὴν μόνην τὴν λέξιν ἐπὶ τὸ σαφέστερον μεταθεῖναι προθυμηθέντες. ὥσπερ θεμίστιός τε ὁ εὐφραδὴς, καὶ εἴ τις ἄλλος τοιοῦτος. οἱ δὲ, καὶ τὰς ἐννοίας μὲν, αὐτὰς δὲ μόνας ψιλὰς τὰς ὑπὸ τοῦ ἀριστοτέλους προτεθειμένας, συντόμως ἀποκαλύπτειν ἐσπούδασαν. ὥσπερ ἐν τῷ κατὰ πεῦσιν καὶ ἀπόκρισιν βιβλίῳ πεποίηκεν ὁ πορφύριος. ἄλλοι δὲ πρὸς τούτοις, καὶ ζητημάτων ἐφήψαντο μετρίως, ὡς ὁ ἀφροδισιεὺς ἀλέξανδρος, καὶ ἑρμῖνος, καὶ ὅσοι τοιοῦτοι. ὧν καὶ μάξιμον ἐγὼ τίθημι, τὸν αἰδεσίου μὲν τοῦ ἰαμβλίχου μαθητὴν. ἐν δὲ τῷ εἰς τὰς κατηγορίας ὑπομνήματι, πάντα σχεδὸν τῷ ἀλεξάνδρῳ συνάψαντα. τινὲς δὲ μέχρι τούτων καὶ βαθυτέραις περὶ αὐτὸ διανοίαις ἐχρήσαντο, ὥσπερ ὁ θαυμάσιος βοηθός. ἄλλοις δὲ ἤρεσεν ἀπορίας μόνας γράψαι πρὸς τὰ λεγόμενα. ὅπερ λούκιός τε πεποίηκε, καὶ μετ᾿ αὐτὸν νικόστρατος, τὰ τοῦ λουκίου ὑποβαλλόμενος. σχεδὸν τι πρὸς πάντα τὰ εἰρημένα κατὰ τὸ βιβλίον, ἐνστάσεις κομίζειν φιλοτιμούμενοι. καὶ οὐδὲ εὐλαβῶς, ἀλλὰ καταφορικῶς μᾶλλον, καὶ ἀπηρυθριακότως. πλὴν καὶ τούτοις χάρις. καὶ ὅτι πραγματειώδεις τὰς πολλὰς τῶν ἀποριῶν προεβάλοντο, καὶ ὅτι λύσεώς τε τῶν ἀποριῶν ἀφορμὰς, καὶ ἄλλων πολλῶν τε καὶ καλῶν θεωρημάτων τοῖς μετ᾿ αὐτοὺς ἐνδεδώκασι. πλωτῖνος δὲ ὁ μέγας ἐπὶ τούτοις, τὰς πραγματειωδεστέρας ἐξετάσεις, ἐν τρισὶν ὅλοις βιβλίοις τοῖς περὶ τῶν γενῶν τοῦ ὄντος ἐπιγεγραμμένοις, τῷ τῶν κατηγοριῶν βιβλίῳ προσήγαγε. μετὰ δὲ τούτους, ὁ πάντων ἡμῖν τῶν καλῶν αἴτιος πορφύριος, ἐξήγησίν τε ἐντελῆ τοῦ βιβλίου, καὶ τῶν ἐνστάσεων πασῶν λύσεις οὐκ ἀπόνως ἐν ἑπτὰ βιβλίοις ἐποιήσατο, τοῖς γεδαλίῳ προσφωνηθεῖσι. πολλὰ καὶ τῶν στωϊκῶν ἐκεῖ δογμάτων κατὰ τὴν κοινωνίαν τοῦ λόγου προσιστορῶν. μετὰ

Themist.
Porph.
Alexand.
Herminus
Boethus
Lucius
Nicostratus
Plotinus
Porphyrius
Iamblichus